UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Sancti patris nostri Ioannis Chrysostomi sermo in lauationem quintae feriae.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

ex* vnctione, ac mittens in aquam, bibit temperatum: & continuo sana facta est, doloribus qui erant in illa, cessantibus sanctorum aduentu. Quæ postquam sana facta est, venit in hanc magnam domum, gratias agens Domino Deo, qui dedit tanta charismata sanctis suis: & narrauit omnibus curationem quæ sibi facta fuerat per sanctos in huiusmodi habitu.

* *id est*, linimento.

Symeon reuerendissimus monachus & hegumenus regionis, tradidit librum: quem suscipiens Niceta Deo amabilis diaconus & notarius venerabilis patriarchici secreti, legit.

*Sancti patris nostri Ioannis Chrysostomi sermo in lauationem quintæ feriæ.*

Omnia facta sunt propter gloriam Dei & vsum nostrum. Nubes ad imbrium ministerium, terra ad fructuum abundantiam, mare ad mercatorum copiam. Omnia tibi ministrant, imo autem imagini Dei. Nam quando imperiales characteres & imagines in ciuitatem introducuntur, obuiam veniunt principes & vulgus cum laudatione, non tabulam honorantes, neque perfusam cera picturam, sed characterem imperatoris: sic creatura non terrenum habitum, sed cælestem figuram veneratur.

Tarasius sanctissimus patriarcha dixit: Libri qui lecti sunt, de templo sanctorum Anargyron sunt, quod est in diuinitus conseruanda regia vrbe. Porro clerici qui inde sunt, detulerunt eos ad nos, & adiuraue-

χειρῶν καταξέουσα τοῦ χρίσματος, καὶ βαλοῦσα ἐν ὕδατι, ἔπιεν εὔκρατον· καὶ παραυτὰ ὑγιὴς γέγονε, τῶν οὐσῶν ἐν αὐτῇ ἀλγηδόνων παυσαμένων τῇ τῶν ἁγίων ἐπιφοιτήσει. ἥτις μετὰ τὸ ὑγιᾶναι ἦλθεν ἐν τῷ μεγάλῳ τούτῳ οἴκῳ, εὐχαριστοῦσα τῷ δεσπότῃ θεῷ, τῷ δεδωκότι τοσαῦτα χαρίσματα τοῖς ἁγίοις αὐτοῦ. καὶ διηγήσατο πᾶσι τὴν διὰ τῶν ἁγίων προσγενομένην αὐτῇ ἐν τῷ τοιούτῳ σχήματι θεραπείαν.

Συμεὼν ὁ εὐλαβέστατος μοναχὸς, πρεσβύτερος καὶ ἡγούμενος τῆς χώρας, ἐπέδωκε βίβλον· ἣν δεξάμενος Νικήτας ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχικοῦ σεκρέτου, ἀνέγνω.

Τοῦ ἁγίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, εἰς τὸν νιπτῆρα.

Πάντα ἐγένοντο διὰ δόξαν θεοῦ, χρῆσιν δὲ ἡμετέραν. νεφέλη εἰς τὴν τῶν ὄμβρων διακονίαν, γῆ εἰς τὴν τῶν καρπῶν εὐθηνίαν, θάλασσα εἰς τὴν τῶν ἐμπόρων ἀφθονίαν· πάντα σοι λειτουργεῖ τῷ ἀνθρώπῳ, μᾶλλον δὲ τῇ εἰκόνι τοῦ δεσπότου. ὥσπερ γὰρ ὅτε βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες εἰς πόλιν εἰσφέρονται, καὶ ὑπαντῶσιν αὐταῖς ἄρχοντες καὶ δῆμοι μετ' εὐφημίας, οὐ σανίδα τιμῶσιν, οὐδὲ τὴν κηρόχυτον γραφὴν, ἀλλὰ τὸν χαρακτῆρα τοῦ βασιλέως· οὕτω καὶ ἡ κτίσις οὐ τὸ γήϊνον σχῆμα τιμᾷ, ἀλλὰ τὸν οὐράνιον χαρακτῆρα αἰδεῖται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· αἱ βίβλοι αἱ ἀναγνωσθεῖσαι ἐκ τοῦ ναοῦ τῶν ἁγίων Ἀναργύρων εἰσὶ, τοῦ ὄντος ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει. οἱ δὲ κληρικοὶ τῶν ἐκεῖσε ὄντων ἐκόμισαν αὐτὰς πρὸς ἡμᾶς, καὶ

ANNO CHRISTI 787.

κατέκριναν, ἵνα ἀναγνωσθῶσιν αὐτὰς ἐν τῇ ἁγίᾳ συνόδῳ.

Ἡ ἁγία σύνοδος εἶπε· καὶ δέον ἦν δέσποτα ἀναγνωσθῆναι αὐτάς. εἰς γὰρ ὠφέλειαν πάντων ἡμῶν προσηνέχθησαν.

Πέτρος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

### Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ κατὰ Ἀρειανῶν λόγου τετάρτου, οὗ ἡ ἀρχή.

Οἱ Ἀρειομανῖται, ὡς ἔοικε, κρίναντες ἅπαξ ἀποστάται γενέσθαι. καὶ μεθ' ἕτερα. τοῦτο καὶ ἀπὸ τοῦ παραδείγματος τῆς εἰκόνος τοῦ βασιλέως προσεχέστερόν τις κατανοεῖν δυνήσεται. ἐν γὰρ τῇ εἰκόνι τοῦ βασιλέως τὸ εἶδος καὶ ἡ μορφή ἐστι· καὶ ἐν τῷ βασιλεῖ δὲ τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν. ἀπαράλλακτος δέ ἐστιν ἡ ἐν τῇ εἰκόνι τοῦ βασιλέως ὁμοιότης· ὥστε τὸν ἐνορῶντα τὴν εἰκόνα, ὁρᾶν ἐν αὐτῇ τὸν βασιλέα· καὶ πάλιν τὸν ὁρῶντα τὸν βασιλέα, ἐπιγινώσκειν ὅτι οὗτός ἐστιν ὁ ἐν τῇ εἰκόνι. ἐκ δὲ τοῦ μὴ διαλλάττειν τὴν ὁμοιότητα, τῷ θέλοντι μετὰ τὴν εἰκόνα θεωρῆσαι τὸν βασιλέα εἴποι ἂν ἡ εἰκών· ἐγὼ καὶ ὁ βασιλεὺς ἕν ἐσμεν. ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμί, κἀκεῖνος ἐν ἐμοί· καὶ ὃ ὁρᾷς ἐν ἐμοί, τοῦτο ἐν ἐκείνῳ βλέπεις· καὶ ὃ ἑώρακας ἐν ἐκείνῳ, τοῦτο βλέπεις ἐν ἐμοί. ὁ γοῦν προσκυνῶν τὴν εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα· ἡ γὰρ ἐκείνου μορφὴ καὶ τὸ εἶδός ἐστιν ἡ εἰκών.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· αὐτὴ ἡ φύσις τῶν πραγμάτων διδάσκει, ὅτι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει· ὡσαύτως δὲ καὶ ἡ ἀτιμία. ὁ δὲ πατὴρ νῦν ἐπὶ ὑποδείγματος ἔλαβε τὰ ἀναγνωσθέντα.

runt nos, vt legeremus illos in sancta Synodo.

Sancta Synodus dixit: Et oportebat illos, domine, legi. ad vtilitatem enim omnium nostrum allati sunt.

Petrus reuerendissimus lector ac notarius venerabilis patriarchii legit.

### *Sancti Athanasii ex sermone quarto contra Arianos: cuius initium est.*

Ariani, vt apparet, semel iudicauerunt præuaricatores fieri. Et post alia. Hoc & a paradigmate imaginis imperatoris attentius quis considerare poterit. In imagine quippe imperatoris species & forma est: in imperatore vero eadem quæ in imagine species est. Parilis autem est in imagine imperatoris similitudo: ita vt qui videat imaginem, in ea imperatorem cernat: & rursus qui viderit imperatorem, cognoscat quod hic sit, qui in imagine est. De eo vero, quia non mutetur similitudo, volenti * præ imagine videre imperatorem, imago dixerit: Ego & imperator vnum sumus. Ego enim in illo sum, & ille in me. Et quod aspicis in me, id & in illo vides: & quod intuitus es in illo, hoc vides in me. Qui ergo adorat imaginem, in ipsa adorat imperatorem. Illius enim forma & species est imago.

* *Gr.* post imaginem

Tarasius sanctissimus patriarcha dixit: Ipsa rerum natura docet, quia imaginis honor ad principale refertur: similiter autem & inhonorantia. Pater autem nunc in exemplum sumpsit quæ lecta sunt.